ΙϹ

ΝΙΚΟΛΑΟΥ ΒΛΑΣΤΟΥ

# ΕΤΥΜΟΛΟΓΙΚΟΝ ΜΕΓΑ ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ, ΠΑΝΥ ΩΦΕΛΙΜΟΝ:~

## ΤΟ ΑΛΦΑ, ΜΕΘ᾽ ΕΑΥΤΟΥ:~

Ἄλφα τὸ στοιχεῖον, παρὰ τὸ ἀλφῶ τὸ εὑρίσκω. πρῶτον γὰρ τῶν ἄλλων στοιχείων εὑρέθη. ἢ ἀπὸ τοῦ κατὰ ἀμοιβὰς πολιτεύεσθαι. ἀλφεῖν γὰρ τὸ ἀμείβειν.

Ἄατος, ἄνευ ἄτης. ὅ ἐστιν ἀβλαβής. δύναται δὲ καὶ ὁ χαλεπὸς καὶ ὁ βλαβερὸς ἀκούεσθαι. ἴσως καὶ αὐτὸ παρὰ τὴν ἄτην ἐπιτάσει τοῦ ἄλφα. οὕτω Μεθόδιος. ἢ ἀπὸ τοῦ ἄω τὸ βλάπτω, ἄσω ἄατος καὶ ἀάατος. Ἄγε δή μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ. ἢ τὸ ἀβλαβές, ἢ τὸ πολυβλαβές. ἀβλαβὲς μὲν, τοῖς εὐόρκοις. πολυβλαβὲς δὲ, τοῖς ἐπιόρκοις.

Ἀάσας, ἔβλαψας. ἐπιτάσει τοῦ α. καὶ ἀασάμην, ἐβλάβην. ἀπὸ τοῦ ἄω τὸ βλάπτω. ὁ μέλλων, ἄσω. ὁ ἀόριστος, ἆσα. καὶ ἐπιτάσει τοῦ α ἄασα. ἀντὶ τοῦ ἔβλαψα. Ἆσέ με δαίμονος αἶσα κακὴ, καὶ ἀθέσφατος οἶνος. ὁ μέσος, ἀσάμην. καὶ πλεονασμῷ τοῦ δευτέρου α, ἀασάμην.

Ἀάσχετον, Μητρός τι μένος μὲν ἀάσχετον οὐκ ἐπιεικτόν. ἀντὶ τοῦ ἀκατάσχετον. ἀκατακράτητον. μέγα. ἀπὸ τοῦ σχῶ, σχήσω. ἔσχηκα. ἔσχημαι. ἔσχεσαι. ἔσχεται. σχετός. καὶ ἄσχετος. καὶ πλεονασμῷ τοῦ α, ἀάσχετος.

Ἀάπτος. Ὅ τε κεν τρὶς ἀάπτους χεῖρας ἐφείω. παρὰ τὸ ἅπτω ἄπτους. καὶ ἀάπτους. ἤγουν, τὰς ἄγαν ἀπτομένας. ἢ ὧν οὐκ ἄν τις ἅψαιτο. οἱονεὶ, ἀπροσίτους. ἀπροσπελάστους. τὸ δὲ καθαπτὸς ἐν πεύκῃσι Παρνασοῦ παρ᾽ Εὐριπίδῃ, ἐκ τοῦ καθάπτω γέγονε καθαπτός. οὕτω Φιλόξενος. ὁ δὲ Ἡρωδιανὸς, τὰς μὴ δυναμένας φθαρῆναι λέγεσθαι σημαίνειν τὸ ὄνομα, κατασκευάζων οὕτως. ἔστιν ἶψ ζῷον ἐσθίον τὰ ξύλα. καὶ κλίνεται ἰπός. ἐκ τούτου γίνεται ῥῆμα, ἰάπτω. ἐξ οὗ ῥηματικὸν ὄνομα, ἰάπτους. καὶ κατὰ στέρησιν, ἀϊάπτους. καὶ κατ᾽ ἔλλειψιν τοῦ ι, ἀάπτους. οἱ μὲν οὖν δασύνουσι τὴν δευτέραν, ἀποδιδόντες ἀπροσπελάστους. οἱ δὲ ψιλοῦσιν, ἀπτοήτους. ἔνιοι δὲ, ἀνεφίκτους. ἢ χαλεπάς. ἵν᾽ ᾖ τὸ μὲν πρῶτον, ἐκτεταμένον. τὸ δὲ δεύτερον, συνεσταλμένον.

Ἀαγές, ἄθραυστον. ἀπὸ τοῦ ἄγω τὸ κλάω, ἀγής. καὶ μετὰ τοῦ ἐπιτατικοῦ ἄλφα, ἀαγής. τὸ οὐδέτερον, ἀαγές. ἢ τὸ ἄθραυστον κατὰ στέρησιν, ἢ τὸ πολύθραυστον:~

## ΤΟ ΑΛΦΑ, ΜΕΤΑ ΤΟΥ ΒΗΤΑ:~

Ἄβαλ, ἐπίρρημα. παρὰ τὸ βάλλω. κατὰ ἀφαίρεσιν τοῦ λ καὶ τοῦ ω. καὶ μετὰ τοῦ ἐπιτατικοῦ ἄλφα, ἄβαλ. καὶ ἄβελ, παρὰ τὸ ἄβαλε ἐπίρρημα. ὥστε τὸ, Ἀβάλε σοι στέφανε. ἐδωλολάγησας.

Ἄβαξ, κυρίως ὁ μὴ ἔχων βάσιν. κατὰ χρηστικῶς δὲ, καὶ πᾶσα οἱασδήποτε σανίδος. οὕτως Ὠρίων. γίνεται δὲ παρὰ τὸ βῶ τὸ βαίνω.

Ἀβαρνίδα. οἷον, Περκώτην δ᾽ ἐπὶ τῇ, καὶ Ἀβαρνίδα ἠμαθόεσσαν. Περκώτη δὲ ἐστὶ πόλις Τροίας. Ἀβαρνὶς δὲ, πόλις Λαμψάκου. ὠνομάσθη δὲ ἀπὸ τοιαύτης αἰτίας. Διονύσου ἐρασθεῖσα Ἀφροδίτη, ἐμίγη αὐτῷ. ἀναχωρήσαντος δὲ τούτου εἰς τὴν Ἰνδικὴν, ἐγαμήθη Ἀδώνιδι. ὡς δὲ ἦλθεν ὁ Διόνυσος, στέφανον ποιήσασα, ἀπήντησεν αὐτῷ. ᾐδεῖτο δὲ ἀκολουθῆσαι αὐτῷ διὰ τὸ γεγαμῆσθαι. εἰς δὲ Λάμψακον ἀναχωρήσασα, τὸν ἐξ αὐτοῦ κυοφορούμενον ἐβούλετο ἀνελεῖν. ἡ δὲ Ἥρα ζηλοτυπήσασα, μεμαγευμένῃ τῇ χειρὶ ἐφήψατο τῆς γαστρὸς αὐτῆς. καὶ ἐποίησεν αὐτὴν τεκεῖν παῖδα, ὃν Πρίηπον ὀνομασθῆναι, ἄσχημον, καὶ βαθυαιδοῖον. καὶ τοῦτον ἀπαρνήσασθαι αὐτὴν τὴν Ἀφροδίτην. καὶ ἀπὸ τούτου, ἀπαρνίδην κληθῆναι. κατὰ δὲ ἐναλλαγὴν τοῦ στοιχείου, Ἀβαρνίδην. οὕτως Ὧρος ὁ Θηβαῖος ἐτυμολόγος. τὸ ἐθνικὸν, Ἀβαρναῖος. καὶ τὸ θηλυκὸν, Ἀβαρναίη.

Ἀβάκησαν, ἀντὶ τοῦ ἠγνόησαν. ἔστι δὲ ἡ λέξις, ἐκ τρεικῆ. οὖν οἱ, Τῷ δ᾽ ἴκελος κατὰ Ἐδυρώων πόλιν. οἱ δ᾽ ἀβάκησαν. σημαίνει δὲ καὶ τὸ ἦσω ἔτησαν. παρ᾽ ἄλλοις δὲ τὸ ἡσύχασαν. ἔστι βάζω τὸ λέγω. ὁ παρὰ ἀπὸ τοῦ βοάζω κατὰ συγκοπὴν γίνεται. ὁ παθητικὸς παρακείμενος, βέβακται. οἷον, ἔπος δ᾽ εἴπερ τι βέβακται. ὥσπερ παρὰ τὸ φυλάσσω πεφύλακται φυλακτὸς, καὶ τέτακται τακτὸς ἐξ οὗ καὶ τὸ ἄτακτος ἀτάκτως, οὕτω καὶ βέβακται βακτὸς. καὶ ῥῆμα ἐξ αὐτοῦ ἀβακτῶ, ὡς ἄτακτος ἀτακτῶ. καὶ ἀφαιρέσει τοῦ τ, ἀβακῶ. ὅθεν καὶ τὸ